eul_wid: boa-ad

*Πίνδαρος* · Pindar

# Nemean Odes

## *Νεμεονῖκαι*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Δωρὶς λογοτεχνική* Literary Doric
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1 .
book 1.5.1 ὕμνος ὁρμᾶται θέμεν
book 1.5.2 αἶνον ἀελλοπόδων
book 1.6.1 μέγαν ἵππων, Ζηνὸς Αἰτναίου χάριν·
book 1.6.2 ἅρμα δ’ ὀτˈρύνει Χρομίου Νεμέα
book 1.7.1 τ’ ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος.
book 1.7.2 ἀρχαὶ δὲ βέβˈληνται θεῶν
book 1.7.3 κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
book 1.10 ἔστι δ’ ἐν εὐτυχίᾳ
book 1.1 πανδοξίας ἄκˈρον· μεγάλων δ’ ἀέθλων
book 1.2 Μοῖσα μεμνᾶσθαι φιλεῖ.
book 1.3 σπεῖρέ νυν ἀγˈλαΐαν
book 1.13.1 τινὰ νάσῳ, τὰν Ὀλύμπου δεσπότας
book 1.13.2 Ζεὺς ἔδωκεν Φερσεφόνᾳ, κατένευ-
book 1.14 σέν τέ οἱ χαίταις, ἀριστεύοισαν εὐκάρπου χθονός
book 1.15 Σικελίαν πίειραν ὀρθώ-
book 1.15.1 σειν κορυφαῖς πολίων ἀφˈνεαῖς·
book 1.15.2 ὤπασε δὲ Κˈρονίων πολέμου
book 1.16.1 μναστῆρά οἱ χαλκεντέος
book 1.16.2 λαὸν ἵππαιχμον, θαμὰ δὴ καὶ Ὀλυμ-
book 1.17.1 πιάδων φύλλοις ἐλαιᾶν χρυσέοις
book 1.17.2 μιχθέντα. πολλῶν ἐπέβαν
book 1.18 ⸏καιρὸν οὐ ψεύδει βαλών·
book 1 ἔσταν δ’ ἐπ’ αὐλείαις θύραις
book 1.20.1 ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος,

book 1.20.2 ἔνθα μοι ἁρμόδιον
book 1.20.3 δεῖπνον κεκόσμηται, θαμὰ δ’ ἀλλοδαπῶν
book 1.20.4 οὐκ ἀπείρατοι δόμοι
book 1.20.5 ἐντί· λέλογχε δὲ μεμ-
book 1.24 φομένοις ἐσλοὺς ὕδωρ καπˈνῷ φέρειν
book 1.25 ἀντίον. τέχˈναι δ’ ἑτέρων ἕτεραι·
book 1.25.1 χρὴ δ’ ἐν εὐθείαις ὁδοῖς στείχοντα μάρνασθαι φυᾷ.
book 1.25.2 πράσσει γὰρ ἔργῳ μὲν σθένος,
book 1.25.3 βουλαῖσι δὲ φˈρήν, ἐσσόμενον προϊδεῖν
book 1.25.4 συγγενὲς οἷς ἕπεται.
book 1.25.5 Ἁγησιδάμου παῖ, σέο δ’ ἀμφὶ τρόπῳ
book 1.30.1 τῶν τε καὶ τῶν χρήσιες.
book 1.30.2 οὐκ ἔραμαι πολὺν ἐν
book 1.31.1 μεγάρῳ πλοῦτον κατακˈρύψαις ἔχειν,
book 1.31.2 ἀλλ’ ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦ-
book 1.32.1 σαι φίλοις ἐξαρκέων. κοιναὶ γὰρ ἔρχοντ’ ἐλπίδες
book 1.32.2 πολυπόνων ἀνδρῶν. ἐγὼ δ’ Ἡ-
book 1.33.1 ρακˈλέος ἀντέχομαι προφˈρόνως
book 1.33.2 ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις,
book 1.34 ἀρχαῖον ὀτˈρύνων λόγον,
book 1.35 ὡς, ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐ-
book 1.35.1 τίκα θαητὰν ἐς αἴγλαν παῖς Διός
book 1.35.2 ὠδῖνα φεύγων διδύμῳ
book 1.36 ‿σὺν κασιγˈνήτῳ μόλεν,
book 1.1 ὡς {τ’} οὐ λαθὼν χρυσόθˈρονον
book 1.2 Ἥραν κροκωτὸν σπάργανον ἐγκατέβα·
book 1.3 ἀλλὰ θεῶν βασιλέα‿
book 1.40.1 σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ.
book 1.40.2 τοὶ μὲν οἰχθεισᾶν πυλᾶν
book 1.40.3 ἐς θαλάμου μυχὸν εὐ-
book 1.42.1 ρὺν ἔβαν, τέκˈνοισιν ὠκείας γνάθους
book 1.42.2 ἀμφελίξασθαι μεμαῶτες· ὁ δ’ ὀρ-
book 1.43.1 θὸν μὲν ἄντεινεν κάρα, πειρᾶτο δὲ πˈρῶτον μάχας,
book 1.43.2 δισσαῖσι δοιοὺς αὐχένων
book 1.45.1 μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας.
book 1.45.2 ἀγχομένοις δὲ χρόνος
book 1.45.3 ψυχὰς ἀπέπˈνευσεν μελέων ἀφάτων.
book 1.45.4 ἐκ δ’ ἄρ’ ἄτˈλατον δέος
book 1.45.5

πλᾶξε γυναῖκας, ὅσαι
book 1.49 τύχον Ἀλκμήνας ἀρήγοισαι λέχει·
book 1 καὶ γὰρ αὐτὰ ποσσὶν ἄπεπˈλος ὀρού-
book 1.1 σαις’ ἀπὸ στρωμνᾶς ὅμως ἄμυνεν ὕβˈριν κνωδάλων.
book 1.2 ταχὺ δὲ Καδˈμείων ἀγοὶ χαλ-
book 1.51.1 κέοις σὺν ὅπλοις ἔδραμον̄ ἀθˈρόοι,
book 1.51.2 ἐν χερὶ δ’ Ἀμφιτρύων κολεοῦ
book 1.52.1 γυμνὸν τινάσσων 〈φάσγανον〉
book 1.52.2 ἵκετ’, ὀξείαις ἀνίαισι τυπείς.
book 1.53.1 τὸ γὰρ οἰκεῖον πιέζει πάνθ’ ὁμῶς·
book 1.53.2 εὐθὺς δ’ ἀπήμων κραδία
book 1.54 ‿—κᾶδος ἀμφ’ ἀλλότˈριον.
book 1.55.1 ἔστα δὲ θάμβει δυσφόρῳ
book 1.55.2 τερπνῷ τε μιχθείς. εἶδε γὰρ ἐκˈνόμιον
book 1.55.3 λῆμά τε καὶ δύναμιν
book 1.55.4 υἱοῦ· παλίγγλωσσον δέ οἱ ἀθάνατοι
book 1.55.5 ἀγγέλων ῥῆσιν θέσαν.
book 1.60 γείτονα δ’ ἐκκάλεσεν
book 1.60.1 Διὸς ὑψίστου προφάταν ἔξοχον,
book 1.60.2 ὀρθόμαντιν Τειρεσίαν· ὁ δέ οἱ
book 1.61.1 φράζε καὶ παντὶ στρατῷ, ποίαις ὁμιλήσει τύχαις,
book 1.61.2 ὅσσους μὲν ἐν χέρσῳ κτανών,
book 1.61.3 ὅσσους δὲ πόντῳ θῆρας ἀϊδˈροδίκας·
book 1.61.4 καί τινα σὺν πλαγίῳ
book 1.65.1 ἀνδρῶν κόρῳ στείχοντα τὸν ἐχθρότατον
book 1.65.2 φᾶ ἑ δᾳώσειν μόρον.
book 1.65.3 καὶ γὰρ ὅταν θεοὶ ἐν
book 1.67.1 πεδίῳ Φλέγˈρας Γιγάντεσσιν μάχαν
book 1.67.2 ἀντιάζωσιν, βελέων ὑπὸ ῥι-
book 1.68.1 παῖσι κείνου φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν
book 1.68.2 ἔνεπεν· αὐτὸν μὰν ἐν εἰρή-
book 1.69 νᾳ τὸν ἅπαντα χρόνον̄ 〈ἐν〉 σχερῷ
book 1.70 ἡσυχίαν καμάτων μεγάλων
book 1.70.1 ποινὰν λαχόντ’ ἐξαίρετον
book 1.70.2 ὀλβίοις ἐν δώμασι, δεξάμενον
book 1.71.1 θαλερὰν Ἥβαν ἄκοιτιν καὶ γάμον
book 1.71.2 δαίσαντα πὰρ Δὶ Κρονίδᾳ,
book 1.72 σεμνὸν αἰνήσειν νόμον.
book 2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

.

book 2.4 νων νικαφορίας δέδεκται πρῶτον, Νεμεαίου

book 2.5 ⸏ἐν πολυϋμνήτῳ Διὸς ἄλσει.

book 2.1 ὀφείλει δ’ ἔτι, πατ῾ρίαν

book 2.2 εἴπερ καθ’ ὁδόν νιν εὐθυπομπός

book 2.3 αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις,

book 2.4 θαμὰ μὲν Ἰσθμιάδων δρέπε-

book 2.9 σθαι κάλλιστον ἄωτον ἐν Πυθίοισί τε νικᾶν

book 2.10 ⸏Τιμονόου παῖδ’· ἔστι δ’ ἐοικός

book 2.1 ὀρειᾶν γε Πελειάδων

book 2.2 μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι.

book 2.3 καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατάν

book 2.4 δυνατός. ἐν Τροΐᾳ μὲν Ἕ-

book 2.14 κτωρ Αἴαντος ἄκουσεν. ὦ Τιμόδημε, σὲ δ’ ἀλκά

book 2.15 ⸏παγκρατίου τλάθυμος ἀέξει.

book 2.1 Ἀχάρναι δὲ παλαίφατον

book 2.2 εὐάνορες· ὅσσα δ’ ἀμφ’ ἀέθ῾λοις,

book 2.3 Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται.

book 2.4 παρὰ μὲν ὑψιμέδοντι Παρ-

book 2.19 νασσῷ τέσσαρας ἐξ ἀέθ῾λων νίκας ἐκόμιξαν·

book 2.20 ⸏ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν

book 2.1 ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς

book 2.2 ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη·

book 2.3 ἑπτὰ δ’ ἐν Νεμέᾳ, τὰ δ’ οἴκοι μάσσον’ ἀριθ῾μοῦ,

book 2.4 Διὸς ἀγῶνι. τόν, ὦ πολῖ-

book 2.24 ται, κωμάξατε Τιμοδήμῳ σὺν εὐκλέϊ νόστῳ·

book 2.25 ἁδυμελεῖ δ’ ἐξάρχετε φωνᾷ.

book 3 .

book 3.5.1 κώμων νεανίαι, σέθεν ὄπα μαιόμενοι.

book 3.5.2 διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου,

book 3.5.3 ◌ἀεθλονικία δὲ μάλιστ’ ἀοιδὰν φιλεῖ,

book 3.5.4 στεφάνων ἀρετᾶν τε δεξιωτάταν ὀπαδόν·

book 3 τᾶς ἀφθονίαν ὄπαζε μήτιος ἁμᾶς ἄπο·

book 3.10.1 ἄρχε δ’ οὐρανοῦ πολυνεφέλα κρέοντι, θύγατερ,

book 3.10.2 δόκιμον ὕμνον· ἐγὼ δὲ κείνων τέ νιν ὀάροις

book 3.10.3 λύρᾳ τε κοινάσομαι. χαρίεντα δ’ ἕξει πόνον

book 3.10.4 χώρας ἄγαλμα, Μυρμιδόνες ἵνα π῾ρότεροι

book 3.10.5 ᾤκησαν, ὧν παλαίφατον ἀγοράν

book 3.15.1

οὐκ ἐλεγχέεσσιν Ἀριστοκλείδας τεάν
book 3.15.2 ἐμίανε κατ’ αἶσαν ἐν περισθενεῖ μαλαχθείς
book 3.15.3 παγκρατίου στόλῳ· καματωδέων δὲ πλαγᾶν
book 3.15.4 ἄκος ὑγιηρὸν ἐν βαθυπεδίῳ Νεμέᾳ
book 3.15.5 τὸ καλλίνικον φέρει.
book 3.20 εἰ δ’ ἐὼν καλὸς ἔρδων τ’ ἐοικότα μορφᾷ
book 3.20 ἀνορέαις ὑπερτάταις ἐπέβα
book 3.20.1 παῖς Ἀριστοφάνεος, οὐκέτι π῾ρόσω
book 3.20.2 ἀβάταν ἅλα κιόνων ὕπερ Ἡρακλέος περᾶν εὐμαρές,
book 3.1 ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας
book 3.2 μάρτυρας κλυτάς· δάμασε δὲ θῆρας ἐν πελάγεϊ
book 3.3 ὑπερόχους, ἰδίᾳ τ’ ἐρεύνασε τεναγέων
book 3.25.1 ῥοάς, ὁπᾷ πόμπιμον κατέβαινε νόστου τέλος,
book 3.25.2 καὶ γᾶν φράδασε. θυμέ, τίνα πρὸς ἀλλοδαπάν
book 3.25.3 ἄκ῾ραν ἐμὸν πλόον παραμείβεαι;
book 3.25.4 Αἰακῷ σε φαμὶ γένει τε Μοῖσαν φέρειν.
book 3.25.5 ἕπεται δὲ λόγῳ δίκας ἄωτος, ‘ἐσλὸν αἰνεῖν‘,
book 3.30.1 οὐδ’ ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες·
book 3.30.2 οἴκοθεν μάτευε. ποτίφορον δὲ κόσμον ἔλαχες
book 3.30.3 γλυκύ τι γαρυέμεν. παλαιαῖσι δ’ ἐν ἀρεταῖς
book 3.30.4 γέγαθε Πηλεὺς ἄναξ, ὑπέραλλον αἰχμὰν ταμών·
book 3.30.5 ὃς καὶ Ἰαολκὸν εἷλε μόνος ἄνευ στρατιᾶς,
book 3.35.1 καὶ ποντίαν Θέτιν κατέμαρψεν
book 3.35.2 ἐγκονητί. Λαομέδοντα δ’ εὐρυσθενής
book 3.35.3 Τελαμὼν Ἰόλᾳ παραστάτας ἐὼν ἔπερσεν
book 3.35.4 καί ποτε χαλκότοξον Ἀμαζόνων μετ’ ἀλκάν
book 3.35.5 ἕπετό οἱ, οὐδέ νίν ποτε φόβος ἀνδροδάμας
book 3.39 ἔπαυσεν ἀκ῾μὰν φρενῶν.
book 3.40.1 συγγενεῖ δέ τις εὐδοξίᾳ μέγα βρίθει.
book 3.40.2 ὃς δὲ διδάκτ’ ἔχει, ψεφεννὸς ἀνὴρ
book 3.41.1 ἄλλοτ’ ἄλλα πνέων οὔ ποτ’ ἀτ῾ρεκεῖ
book 3.41.2 κατέβα ποδί, μυριᾶν δ’ ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται.
book 3.1 ξανθὸς δ’ Ἀχιλεὺς τὰ μὲν μένων Φιλύρας ἐν δόμοις,
book 3.2 παῖς ἐὼν ἄθυρε μεγάλα ἔργα· χερσὶ θαμινά
book 3.45.1 βραχυσίδαρον ἄκοντα πάλλων ἶσα τ’ ἀνέμοις,
book 3.45.2 {ἐν} μάχᾳ λεόντεσσιν ἀγ῾ροτέροις ἔπρασσεν φόνον,
book 3.45.3 κάπ῾ρους τ’ ἔναιρε· σώματα δὲ παρὰ Κ῾ρονίδαν
book 3.45.4 Κένταυρον ἀσθμαίνοντα κόμιζεν,
book 3.45.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξέτης τὸ πρῶτον, ὅλον δ’ ἔπειτ’ ἂν χρόνον·
book 3.1 τὸν ἐθάμβεον Ἄρτεμίς τε καὶ θρασεῖ’ Ἀθάνα,
book 3.2 κτείνοντ’ ἐλάφους ἄνευ κυνῶν δολίων θ’ ἑρκέων·
book 3.3 ποσσὶ γὰρ κράτεσκε. λεγόμενον δὲ τοῦτο προτέρων
book 3.4 ἔπος ἔχω· βαθυμῆτα Χίρων τράφε λιθίνῳ
book 3.5 Ἰάσον’ ἔνδον τέγει, καὶ ἔπειτεν Ἀσκλαπιόν,
book 3.55.1 τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον·
book 3.55.2 νύμφευσε δ’ αὖτις ἀγˈλαόκολπον
book 3.55.3 Νηρέος θύγατˈρα, γόνον τέ οἱ φέρτατον
book 3.55.4 ἀτίταλλεν 〈ἐν〉 ἁρμένοισι πᾶσι θυμὸν αὔξων,
book 3.55.5 ὄφˈρα θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθείς
book 3.60 ὑπὸ Τροΐαν δορίκτυπον ἀλαλὰν Λυκίων
book 3.60.1 τε προσμένοι καὶ Φρυγῶν
book 3.60.2 Δαρδάνων τε, καὶ ἐγχεσφόροις ἐπιμείξαις
book 3.60.3 Αἰθιόπεσσι χεῖρας ἐν φρασὶ πά-
book 3.62.1 ξαιθ’, ὅπως σφίσι μὴ κοίρανος ὀπίσω
book 3.62.2 ⸏πάλιν οἴκαδ’ ἀνεψιὸς ζαμενὴς Ἑλένοιο Μέμνων μόλοι.
book 3 τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν αὐτόθεν·
book 3.65.1 Ζεῦ, τεὸν γὰρ αἷμα, σέο δ’ ἀγών, τὸν ὕμνος ἔβαλεν
book 3.65.2 ὀπὶ νέων ἐπιχώριον χάρμα κελαδέων.
book 3.65.3 βοὰ δὲ νικαφόρῳ σὺν Ἀριστοκλείδᾳ πρέπει,
book 3.65.4 ὃς τάνδε νᾶσον εὐκλέϊ προσέθηκε λόγῳ
book 3.65.5 καὶ σεμνὸν ἀγˈλααῖσι μερίμναις
book 3.70.1 Πυθίου Θεάριον. ἐν δὲ πείρᾳ τέλος
book 3.70.2 διαφαίνεται ὧν τις ἐξοχώτερος γένηται,
book 3.70.3 ἐν παισὶ νέοισι παῖς, ἐν {δ’} ἀνδράσιν ἀνήρ, τρίτον
book 3.70.4 ἐν παλαιτέροισι, μέρος ἕκαστον οἷον ἔχομεν
book 3.70.5 βρότεον ἔθˈνος· ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετάς
book 3.75.1 〈ὁ〉 θνατὸς αἰών, φρονεῖν δ’ ἐνέπει τὸ παρκείμενον.
book 3.75.2 τῶν οὐκ ἄπεσσι· χαῖρε, φίλος· ἐγὼ τόδε τοι
book 3.75.3 πέμπω μεμιγμένον μέλι λευκῷ
book 3.75.4 σὺν γάλακτι, κιρναμένα δ’ ἔερς’ ἀμφέπει,
book 3.75.5 πόμ’ ἀοίδιμον Αἰολίσσιν ἐν πνοαῖσιν αὐλῶν,
book 3.80.1 ὀψέ περ. ἔστι δ’ αἰετὸς ὠκὺς ἐν ποτανοῖς,
book 3.80.2 ὃς ἔλαβεν αἶψα, τηλόθε μεταμαιόμενος,
book 3.81.1 δαφοινὸν ἄγˈραν ποσίν·
book 3.81.2 κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται.
book 3.81.3 τίν γε μέν, εὐθρόνου Κλεοῦς ἐθελοί-
book 3.83.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σας, ἀεθˈλοφόρου λήματος ἕνεκεν
book 3.83.2 Νεμέας Ἐπιδαυρόθεν τ’ ἄπο καὶ Μεγάρων δέδορκεν
book 3.84 φάος.
book 4 .
book 4.5.1 γυῖα, τόσσον εὐλογία φόρμιγγι συνάορος.
book 4.5.2 ῥῆμα δ’ ἐργμάτων χρονιώτερον βιοτεύει,
book 4.5.3 ὅ τι κε σὺν Χαρίτων τύχᾳ
book 4.5.4 γλῶσσα φˈρενὸς ἐξέλοι βαθείας.
book 4 τό μοι θέμεν Κρονίδᾳ τε Δὶ καὶ Νεμέᾳ
book 4.10.1 Τιμασάρχου τε πάλᾳ
book 4.10.2 ὕμνου προκώμιον εἴη· δέξαιτο δ’ Αἰακιδᾶν
book 4.10.3 ἠύπυργον ἕδος, δίκᾳ ξεναρκέϊ κοινόν
book 4.1 φέγγος. εἰ δ’ ἔτι ζαμενεῖ Τιμόκˈριτος ἁλίῳ
book 4.2 σὸς πατὴρ ἐθάλπετο, ποικίλον κιθαρίζων
book 4.15.1 θαμά κε, τῷδε μέλει κλιθείς,
book 4.15.2 ὕμνον κελάδησε καλλίνικον
book 4.1 Κλεωναίου τ’ ἀπ’ ἀγῶνος ὅρμον στεφάνων
book 4.2 πέμψαντα καὶ λιπαρᾶν
book 4.3 εὐωνύμων ἀπ’ Ἀθανᾶν, Θήβαις τ’ ἐν ἑπταπύλοις
book 4.20.1 οὕνεκ’ Ἀμφιτρύωνος ἀγˈλαὸν παρὰ τύμβον
book 4.20.2 Καδˈμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μείγνυον,
book 4.20.3 Αἰγίνας ἕκατι. φίλοισι γὰρ φίλος ἐλθών
book 4.20.4 ξένιον ἄστυ κατέδˈρακεν
book 4.20.5 Ἡρακˈλέος ὀλβίαν πρὸς αὐλάν.
book 4.25.1 σὺν ᾧ ποτε Τˈροΐαν κραταιὸς Τελαμών
book 4.25.2 πόρθησε καὶ Μέροπας
book 4.25.3 καὶ τὸν μέγαν πολεμιστὰν ἔκπαγˈλον Ἀλκυονῆ,
book 4.25.4 οὐ τετραορίας γε πρὶν δυώδεκα πέτˈρῳ
book 4.25.5 ἥροάς τ’ ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν
book 4.30.1 δὶς τόσους. ἀπειρομάχας ἐών κε φανείη
book 4.30.2 λόγον ὁ μὴ συνιείς· ἐπεί
book 4.30.3 ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.
book 4.1 τὰ μακˈρὰ δ’ ἐξενέπειν ἐρύκει με τεθμός
book 4.2 ὧραί τ’ ἐπειγόμεναι·
book 4.35.1 ἴϋγγι δ’ ἕλκομαι ἦτορ νεομηνίᾳ θιγέμεν.
book 4.35.2 ἔμπα, καίπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα
book 4.35.3 μέσσον, ἀντίτειν’ ἐπιβουλίαις· σφόδρα δόξομεν
book 4.35.4 δαΐων ὑπέρτεροι ἐν φάει καταβαίνειν·
book 4.35.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φθονερὰ δ’ ἄλλος ἀνὴρ βλέπων
book 4.40 γνώμαν κενεὰν σκότῳ κυλίνδει
book 4.1 χαμαὶ πετοῖσαν. ἐμοὶ δ’ ὁποίαν ἀρετάν
book 4.2 ἔδωκε Πότˈμος ἄναξ,
book 4.3 εὖ οἶδ’ ὅτι χˈρόνος ἕρπων πεπρωμέναν τελέσει.
book 4.4 ἐξύφαινε, γλυκεῖα, καὶ τόδ’ αὐτίκα, φόρμιγξ,
book 4.45.1 Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος πεφιλημένον
book 4.45.2 Οἰνώνᾳ τε καὶ Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει
book 4.45.3 ὁ Τελαμωνιάδας· ἀτάρ
book 4.45.4 Αἴας Σαλαμῖν’ ἔχει πατρῴαν·
book 4 ἐν δ’ Εὐξείνῳ πελάγει φαεννὰν Ἀχιλεύς
book 4.1 νᾶσον· Θέτις δὲ κρατεῖ
book 4.2 Φθίᾳ· Νεοπτόλεμος δ’ ἀπείρῳ διαπˈρυσίᾳ,
book 4.3 βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται
book 4.4 Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον.
book 4.5 Παλίου δὲ πὰρ ποδὶ λατˈρίαν Ἰαολκόν
book 4.55.1 πολεμίᾳ χερὶ προστραπών
book 4.55.2 Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν
book 4.1 δάμαρτος Ἱππολύτας Ἀκάστου δολίαις
book 4.2 τέχναισι χρησάμενος·
book 4.3 τᾷ Δαιδάλου δὲ μαχαίρᾳ φύτευέ οἱ θάνατον
book 4.60.1 ἐκ λόχου Πελίαο παῖς· ἄλαλκε δὲ Χίρων,
book 4.60.2 καὶ τὸ μόρσιμον Διόθεν πεπρωμένον ἔκφερεν·
book 4.60.3 πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων
book 4.60.4 ὄνυχας ὀξυτάτους ἀκμάν
book 4.60.5 καὶ δεινοτάτων σχάσαις ὀδόντων
book 4.65.1 ἔγαμεν ὑψιθρόνων μίαν Νηρεΐδων.
book 4.65.2 εἶδεν δ’ εὔκυκˈλον ἕδραν,
book 4.65.3 τὰν οὐρανοῦ βασιλῆες πόντου τ’ ἐφεζόμενοι
book 4.65.4 δῶρα καὶ κράτος ἐξέφαναν ἐγγενὲς αὐτῷ.
book 4 Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν· ἀπότˈρεπε
book 4.70.1 αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός·
book 4.70.2 ἄπορα γὰρ λόγον Αἰακοῦ
book 4.70.3 παίδων τὸν ἅπαντά μοι διελθεῖν.
book 4.1 Θεανδρίδαισι δ’ ἀεξιγυίων ἀέθλων
book 4.2 κάρυξ ἑτοῖμος ἔβαν
book 4.75.1 Οὐλυμπίᾳ τε καὶ Ἰσθμοῖ Νεμέᾳ τε συνθέμενος,
book 4.75.2 ἔνθα πεῖραν ἔχοντες οἴκαδε κˈλυτοκάρπων
book 4.75.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐ νέοντ’ ἄνευ στεφάνων, πάτραν ἵν’ ἀκούομεν,
book 4.75.4 Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς
book 4.75.5 πρόπολον ἔμμεναι. εἰ δέ τοι
book 4.80 μάτρῳ μ’ ἔτι Καλλικλεῖ κελεύεις
book 4.1 στάλαν θέμεν Παρίου λίθου λευκοτέραν·
book 4.2 ὁ χρυσὸς ἑψόμενος
book 4.3 αὐγὰς ἔδειξεν ἁπάσας, ὕμνος δὲ τῶν ἀγαθῶν
book 4.4 ἐργμάτων βασιλεῦσιν ἰσοδαίμονα τεύχει
book 4.85.1 φῶτα· κεῖνος ἀμφ’ Ἀχέροντι ναιετάων ἐμάν
book 4.85.2 γλῶσσαν εὑρέτω κελαδῆτιν, Ὀρσοτριαίνα
book 4.85.3 ἵν’ ἐν ἀγῶνι βαρυκτύπου
book 4.85.4 θάλησε Κορινθίοις σελίνοις·
book 4 τὸν Εὐφάνης ἐθέλων γεραιὸς προπάτωρ
book 4.90.1 σὸς ἄεισέν ποτε, παῖ.
book 4.90.2 ἄλλοισι δ’ ἅλικες ἄλλοι· τὰ δ’ αὐτὸς ἀντιτύχῃ,
book 4.90.3 ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι.
book 4.90.4 οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι,
book 4.90.5 ῥήματα π˙λέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν,
book 4.95 μαλακὰ μὲν φρονέων ἐσλοῖς,
book 4 τραχὺς δὲ παλιγκότοις ἔφεδ˙ρος.
book 5 .
book 5.1.1 ζεσθαι ἀγάλματ’ ἐπ’ αὐτᾶς βαθ˙μίδος
book 5.1.2 ἑστᾰότ’· ἀλλ’ ἐπὶ πάσας
book 5.2.1 ὁλκάδος ἔν τ’ ἀκάτῳ, γλυκεῖ’ ἀοιδά,
book 5.2.2 στεῖχ’ ἀπ’ Αἰγίνας διαγγέλλοις’, ὅτι
book 5.2.3 Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενής
book 5.5.1 νίκη Νεμείοις παγκρατίου στέφανον,
book 5.5.2 οὔπω γένυσι φαίνων τερείνας
book 5.6.1 ματέρ’ οἰνάνθας ὀπώραν,
book 5.6.2 ἐκ δὲ Κ˙ρόνου καὶ Ζηνὸς ἥρωας αἰχματὰς φυτευθέν-
book 5.7.1 τας καὶ ἀπὸ χ˙ρυσεᾶν Νηρηΐδων
book 5.7.2 Αἰακίδας ἐγέραιρεν
book 5.8 ματρόπολίν τε, φίλαν ξένων ἄρουραν·
book 5 τάν ποτ’ εὔανδρόν τε καὶ ναυσικ˙λυτάν
book 5.10.1 θέσσαντο, πὰρ βωμὸν πατέρος Ἑλλανίου
book 5.10.2 στάντες, πίτναν τ’ ἐς αἰθέρα χεῖρας ἁμᾶ
book 5.10.3 Ἐνδαΐδος ἀριγ˙νῶτες υἱοί
book 5.12.1 καὶ βία Φώκου κρέοντος,
book 5.12.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ τᾶς θεοῦ, ὃν Ψαμάθεια τίκτ᾽ ἐπὶ ῥηγμῖνι πόντου.
book 5.12.3 αἰδέομαι μέγα εἰπεῖν
book 5.14 ἐν δίκᾳ τε μὴ κεκινδυνευμένον,
book 5.15 πῶς δὴ λίπον εὐκλέα νᾶσον,
book 5.15.1 καὶ τίς ἄνδρας ἀλκίμους
book 5.15.2 δαίμων ἀπ᾽ Οἰνώνας ἔλασεν.
book 5.16.1 στάσομαι· οὔ τοι ἅπασα κερδίων
book 5.16.2 φαίνοισα πρόσωπον ἀλάθει᾽ ἀτˈρεκές·
book 5.16.3 καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώ-
book 5.18 ⸏τατον ἀνθρώπῳ νοῆσαι.
book 5 εἰ δ᾽ ὄλβον ἢ χειρῶν βίαν ἢ σιδαρίταν ἐπαινῆ-
book 5.19 σαι πόλεμον δεδόκηται, μακˈρά μοι
book 5.20.1 αὐτόθεν ἅλμαθ᾽ ὑποσκά-
book 5.20.2 πτοι τις· ἔχω γονάτων ὁρμὰν ἐλαφˈράν·
book 5.20.3 καὶ πέραν πόντοιο πάλλοντ᾽ αἰετοί.
book 5.20.4 πρόφˈρων δὲ καὶ κείνοις ἄειδ᾽ ἐν Παλίῳ
book 5.20.5 Μοισᾶν ὁ κάλλιστος χορός, ἐν δὲ μέσαις
book 5.25 φόρμιγγ᾽ Ἀπόλλων ἑπτάγλωσσον
book 5.24 χρυσέῳ πλάκτρῳ διώκων
book 5.25 ἁγεῖτο παντοίων νόμων· αἱ δὲ πρώτιστον μὲν ὕμνη-
book 5.25.1 σαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν
book 5.25.2 Πηλέα θ᾽, ὥς τέ νιν ἁβˈρὰ
book 5.26.1 Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι
book 5.26.2 ἤθελε ξυνᾶνα Μαγˈνήτων σκοπόν
book 5.26.3 πείσαις᾽ ἀκοίταν ποικίλοις βουλεύμασιν,
book 5 ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,
book 5.30 ὡς ἦρα νυμφείας ἐπείρα
book 5.30.1 κεῖνος ἐν λέκτροις Ἀκάστου
book 5.30.2 εὐνᾶς· τὸ δ᾽ ἐναντίον ἔσκεν· πολλὰ γάρ νιν παντὶ θυμῷ
book 5.30.3 παρφαμένα λιτάνευεν.
book 5.32.1 τοῖο δ᾽ ὀργὰν κνίζον αἰπεινοὶ λόγοι·
book 5.32.2 εὐθὺς δ᾽ ἀπανάνατο νύμφαν,
book 5.33.1 ξεινίου πατˈρὸς χόλον
book 5.33.2 δείσαις· ὁ δ᾽ εὖ φράσθη κατένευ-
book 5.34 σέν τέ οἱ ὀρσινεφὴς ἐξ οὐρανοῦ
book 5.35.1 Ζεὺς ἀθανάτων βασιλεύς, ὥστ᾽ ἐν τάχει
book 5.35.2 ποντίαν χρυσαλακάτων τινὰ Νη-
book 5.36 ⸏ρεΐδων πράξειν ἄκοιτιν,
book 5

γαμβρὸν Ποσειδάωνα πείσαις, ὃς Αἰγᾶθεν ποτὶ κ῾λει-
book 5.37.1 τὰν θαμὰ νίσεται Ἰσθμὸν Δωρίαν·
book 5.37.2 ἔνθα νιν εὔφρονες ἶλαι
book 5.38.1 σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,
book 5.38.2 καὶ σθένει γυίων ἐρίζοντι θ῾ρασεῖ.
book 5.40.1 Πότ῾μος δὲ κρίνει συγγενὴς ἔργων πέρι
book 5.40.2 πάντων. τὺ δ’ Αἰγίναθε δίς, Εὐθύμενες,
book 5.40.3 Νίκας ἐν ἀγκώνεσσι πίτ῾νων
book 5.42.1 ποικίλων ἔψαυσας ὕμνων.
book 5.42.2 ἤτοι μεταΐξαις σὲ καὶ νῦν τεὸς μάτρως ἀγάλλει
book 5.43.1 κείνου ὁμόσπορον ἔθ῾νος, Πυθέα.
book 5.43.2 ἁ Νεμέα μὲν ἄραρεν
book 5.44 μείς τ’ ἐπιχώριος, ὃν φίλης’ Ἀπόλλων·
book 5.45.1 ἅλικας δ’ ἐλθόντας οἴκοι τ’ ἐκ῾ράτει
book 5.45.2 Νίσου τ’ ἐν εὐαγκεῖ λόφῳ. χαίρω δ’ ὅτι
book 5.45.3 ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.
book 5.45.4 ἴσθι, γ῾λυκεῖάν τοι Μενάνδρου
book 5.48 σὺν τύχᾳ μόχθων ἀμοιβὰν
book 5 ἐπαύρεο. χρὴ δ’ ἀπ’ Ἀθανᾶν τέκτον’ ἀεθληταῖσιν ἔμμεν·
book 5 εἰ δὲ Θεμίστιον ἵκεις
book 5.1 ὥστ’ ἀείδειν, μηκέτι ῥῖγει· δίδοι
book 5.2 φωνάν, ἀνὰ δ’ ἱστία τεῖνον
book 5.51.1 πρὸς ζυγὸν καρχασίου,
book 5.51.2 πύκταν τέ νιν καὶ παγκρατίου
book 5.52.1 φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπ῾λόαν
book 5.52.2 νικῶντ’ ἀρετάν, προθύροισιν δ’ Αἰακοῦ
book 5.52.3 ἀνθέων ποιάεντα φέρε στεφανώ-
book 5.54 ματα σὺν ξανθαῖς Χάρισσιν.
book 6 .
book 6.3.1 χάλκεος ἀσφαλὲς αἰὲν ἕδος
book 6.3.2 μένει οὐρανός. ἀλλά τι προσφέρομεν ἔμπαν ἢ μέγαν
book 6.5.1 νόον ἤτοι φύσιν ἀθανάτοις,
book 6.5.2 καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐδὲ μετὰ νύκτας
book 6.6b ἄμμε πότ῾μος
book 6.7.1 ἅντιν’ ἔγ῾ραψε δραμεῖν ποτὶ στάθμαν.
book 6.7.2 τεκμαίρει {δὲ} καί νυν Ἀλκιμίδας τὸ συγγενὲς ἰδεῖν
book 6.7.3 ἄγχι καρποφόροις ἀρούραισιν, αἵτ’ ἀμειβόμεναι
book 6.10 τόκα μὲν ὦν βίον ἀνδράσιν ἐπ-
book 6.10.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

◌ηετανὸν ἐκ πεδίων ἔδοσαν,
book 6.10.2 τόκα δ’ αὖτ’ ἀναπαυσάμεναι σθένος ἔμαρψαν. ἦλθέ τοι
book 6.10.3 Νεμέας ἐξ ἐρατῶν ἀέθλων
book 6.10.4 παῖς ἐναγώνιος, ὃς ταύ-
book 6.13 ταν μεθέπων Διόθεν αἶσαν
book 6.13b νῦν {τε} πέφανται
book 6.14 οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας,
book 6.15.1 ἴχˈνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων
book 6.15.2 πατˈροπάτορος ὁμαιμίοις.
book 6.15.3 κεῖνος γὰρ Ὀλυμπιόνικος ἐὼν Αἰακίδαις
book 6.15.4 ἔρνεα πρῶτος 〈ἔνεικεν〉 ἀπ’ Ἀλφεοῦ,
book 6.15.5 καὶ πεντάκις Ἰσθμοῖ στεφανωσάμενος,
book 6.20.1 Νεμέᾳ δὲ τρεῖς, ἔπαυσε λάθαν
book 6.20.2 Σαοκˈλείδα’, ὃς ὑπέρτατος
book 6.20.3 ⏑— Ἁγησιμάχοι’ ὑέων γένετο.
book 6.1 ἐπεί οἱ τρεῖς ἀεθˈλοφόροι πρὸς ἄκˈρον ἀρετᾶς
book 6.2 ἦλθον, οἵ τε πόνων ἐγεύσαντο. σὺν θεοῦ δὲ τύχᾳ
book 6.25 ἕτερον οὔ τινα οἶκον ἀπε-
book 6.25.1 φάνατο πυγˈμαχία 〈πλεόνων〉
book 6.25.2 ταμίαν στεφάνων μυχῷ Ἑλλάδος ἁπάσας. ἔλπομαι
book 6.25.3 μέγα εἰπὼν σκοποῦ ἄντα τυχεῖν
book 6.25.4 ὥτ’ ἀπὸ τόξου ἱείς· εὔ-
book 6.28 θυν’ ἐπὶ τοῦτον, ἄγε, Μοῖσα,
book 6.28b οὖρον ἐπέων
book 6.29 εὐκλέα· παροιχομένων γὰρ ἀνέρων,
book 6.30.1 ἀοιδαὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ’ ἐκόμισαν·
book 6.30.2 Βασσίδαισιν ἅ τ’ οὐ σπανίζει, παλαίφατος γενεά,
book 6.30.3 ἴδια ναυστολέοντες ἐπι-
book 6.32.1 κώμια, Πιερίδων ἀρόταις
book 6.32.2 δυνατοὶ παρέχειν πολὺν ὕμνον ἀγερώχων ἐργμάτων
book 6.32.3 ἕνεκεν. καὶ γὰρ ἐν ἀγαθέᾳ
book 6.35 χεῖρας ἱμάντι δεθεὶς Πυθῶνι κράτησεν ἀπὸ ταύτας
book 6.35b αἷμα πάτˈρας
book 6.36.1 χρυσαλακάτου ποτὲ Καλλίας ἁδών
book 6.36.2 ἔρνεσι Λατοῦς, παρὰ Κασταλίαν τε Χαρίτων
book 6.36.3 ἑσπέριος ὁμάδῳ φλέγεν·
book 6.36.4 πόντου τε γέφυρ’ ἀκάμαντος ἐν ἀμφικτιόνων
book 6.40.1 ταυροφόνῳ τριετηρίδι Κρεοντίδαν
book 6.40.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τίμασε Ποσειδάνιον ἂν τέμενος·
book 6.40.3 βοτάνα τέ νίν ποθ’ ἁ λέοντος
book 6.40.4 νικάσαντ’ ἤρεφε δασκίοις
book 6.40.5 ⸏Φλειοῦντος ὑπ’ ὠγυγίοις ὄρεσιν.
book 6.45.1 πλατεῖαι πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι
book 6.45.2 νᾶσον εὐκλέα τάνδε κοσμεῖν· ἐπεί σφιν Αἰακίδαι
book 6.45.3 ἔπορον ἔξοχον αἶσαν ἀρε-
book 6.47.1 τὰς ἀποδεικνύμενοι μεγάλας,
book 6.47.2 πέταται δ’ ἐπί τε χθόνα καὶ διὰ θαλάσσας τηλόθεν
book 6.47.3 ὄνυμ’ αὐτῶν· καὶ ἐς Αἰθίοπας
book 6 Μέμνονος οὐκ {ἂν} ἀπονοστή-
book 6 σαντος ἔπαλτο· βαρὺ δέ σφιν
book 6.50b νεῖκος Ἀχιλεύς
book 6.51.1 ἔμπεσε χαμαὶ καταβαὶς ἀφ’ ἁρμάτων,
book 6.51.2 φαεννᾶς υἱὸν εὖτ’ ἐνάριξεν Ἀόος ἀκμᾷ
book 6.51.3 ἔγχεος ζακότοιο. καὶ ταῦτα μὲν παλαιότεροι
book 6.51.4 ὁδὸν ἀμαξιτὸν εὗρον· ἕπο-
book 6.54 μαι δὲ καὶ αὐτὸς ἔχων μελέταν·
book 6.55.1 τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων
book 6.55.2 λέγεται παντὶ μάλιστα δονεῖν
book 6.55.3 θυμόν. ἑκόντι δ’ ἐγὼ νώ-
book 6.57 τῳ μεθέπων δίδυμον ἄχθος
book 6.57b ἄγγελος ἔβαν,
book 6.58.1 πέμπτον ἐπὶ εἴκοσι τοῦτο γαρύων
book 6.58.2 εὖχος ἀγώνων ἄπο, τοὺς ἐνέποισιν ἱερούς,
book 6.60.1 Ἀλκίμιδα, σέ γ’ ἐπαρκέσαι
book 6.60.2 κλειτᾷ γενεᾷ—δύο μὲν Κρονίου πὰρ τεμένει,
book 6.60.3 παῖ, σέ τ’ ἐνόσφισε καὶ Πολυτιμίδαν
book 6.60.4 κλᾶρος προπετὴς ἄνθε’ Ὀλυμπιάδος—,
book 6.60.5 δελφῖνι καὶ τάχος δι’ ἅλμας
book 6.65 ἶσον 〈κ’〉 εἴποιμι Μελησίαν
book 6 χειρῶν τε καὶ ἰσχύος ἁνίοχον.
book 7 .
book 7.2.1 σον, Ἥρας, γενέτειρα τέκˈνων· ἄνευ σέθεν
book 7.2.2 οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρόναν
book 7.2.3 τεὰν ἀδελφε͜ὰν ἐλάχομεν ἀγˈλαόγυιον Ἥβαν.
book 7.5.1 ἀναπˈνέομεν δ’ οὐχ ἅπαντες ἐπὶ ἴσα·
book 7.5.2 εἴργει δὲ πότμῳ ζυγένθ’ ἕτερον ἕτερα. σὺν δὲ τίν
book 7.5.3

καὶ παῖς ὁ Θεαρίωνος ἀρετᾷ κριθείς
book 7.5.4 εὔδοξος ἀείδεται Σωγένης μετὰ πενταέθ᾽λοις.
book 7.5.5 πόλιν γὰρ φιλόμολπον οἰκεῖ δορικτύπων
book 7.10 Αἰακιδᾶν· μάλα δ’ ἐθέλον-
book 7.10.1 τι σύμπειρον ἀγωνίᾳ θυμὸν ἀμφέπειν.
book 7.10.2 εἰ δὲ τύχῃ τις ἔρδων, μελίφ᾽ρον’ αἰτίαν
book 7.10.3 ῥοαῖσι Μοισᾶν ἐνέβαλε· ταὶ μεγάλαι γὰρ ἀλκαί
book 7.10.4 σκότον πολὺν ὕμνων ἔχοντι δεόμεναι·
book 7.10.5 ἔργοις δὲ καλοῖς ἔσοπτρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ,
book 7.15.1 εἰ Μναμοσύνας ἕκατι λιπαράμπυκος
book 7.15.2 εὕρηται ἄποινα μόχθων κλυταῖς ἐπέων ἀοιδαῖς.
book 7.15.3 σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον
book 7.15.4 ἔμαθον, οὐδ’ ὑπὸ κέρδει βλάβεν·
book 7.15.5 ἀφ᾽νεὸς πενιχρός τε θανάτου παρά
book 7.20.1 σᾶμα νέονται. ἐγὼ δὲ πλέον’ ἔλπομαι
book 7.20.2 λόγον Ὀδυσσέος ἢ πάθαν
book 7.21 διὰ τὸν ἁδυεπῆ γενέσθ’ Ὅμηρον·
book 7.1 ἐπεὶ ψεύδεσί οἱ ποτανᾷ 〈τε〉 μαχανᾷ
book 7.2 σεμνὸν ἔπεστί τι· σοφία
book 7.23.1 δὲ κλέπτει παράγοισα μύθοις. τυφλὸν δ’ ἔχει
book 7.23.2 ἦτορ ὅμιλος ἀνδρῶν ὁ πλεῖστος. εἰ γὰρ ἦν
book 7.25.1 ἑ τὰν ἀλάθειαν ἰδέμεν, οὔ κεν ὅπλων χολωθείς
book 7.25.2 ὁ καρτερὸς Αἴας ἔπαξε διὰ φρενῶν
book 7.25.3 λευρὸν ξίφος· ὃν κράτιστον Ἀχιλέος ἄτερ μάχᾳ
book 7.25.4 ξανθῷ Μενέλᾳ δάμαρτα κομίσαι θοαῖς
book 7.25.5 ἃν ναυσὶ πόρευσαν εὐθυπ᾽νόου Ζεφύροιο πομπαί
book 7.30.1 πρὸς Ἴλου πόλιν. ἀλλὰ κοινὸν γὰρ ἔρχεται
book 7.30.2 κῦμ’ Ἀίδα, πέσε δ’ ἀδόκη-
book 7.31.1 τον ἐν καὶ δοκέοντα· τιμὰ δὲ γίνεται
book 7.31.2 ὧν θεὸς ἁβ᾽ρὸν αὔξει λόγον τεθνακότων.
book 7.31.3 βοαθοῶν τοι παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου
book 7.31.4 μόλον χθονός. ἐν Πυθίοισι δὲ δαπέδοις
book 7.35.1 κεῖται Πριάμου πόλιν Νεοπτόλεμος ἐπεὶ πράθεν,
book 7.35.2 τᾷ καὶ Δαναοὶ πόνησαν· ὁ δ’ ἀποπ᾽λέων
book 7.35.3 Σκύρου μὲν ἅμαρτε, πλαγχθέντες δ’ εἰς Ἐφύραν ἵκοντο.
book 7.35.4 Μολοσσίᾳ δ’ ἐμβασίλευεν ὀλίγον
book 7.35.5 χρόνον· ἀτὰρ γένος αἰεὶ φέρει
book 7.40.1 τοῦτό οἱ γέρας. ᾤχετο δὲ πρὸς θεόν,
book 7.40.2

κτέατ’ ἄγων Τροΐαθεν ἀκροθινίων·
book 7.40.3 ἵνα κρεῶν νιν ὕπερ μάχας
book 7.42 —ἔλασεν ἀντιτυχόντ’ ἀνὴρ μαχαίρᾳ.
book 7.1 βάρυνθεν δὲ περισσὰ Δελφοὶ ξεναγέται.
book 7.2 ἀλλὰ τὸ μόρσιμον ἀπέδω-
book 7.44 κεν· ἐχ˙ρῆν δέ τιν’ ἔνδον ἄλσει παλαιτάτῳ
book 7.45.1 Αἰακιδᾶν κρεόντων τὸ λοιπὸν ἔμμεναι
book 7.45.2 θεοῦ παρ’ εὐτειχέα δόμον, ἡροΐαις δὲ πομπαῖς
book 7.45.3 θεμισκόπον οἰκεῖν ἐόντα πολυθύτοις.
book 7.45.4 εὐώνυμον ἐς δίκαν τρία ἔπεα διαρκέσει·
book 7.45.5 οὐ ψεῦδις ὁ μάρτυς ἔργμασιν ἐπιστατεῖ,
book 7 Αἴγινα, τεῶν Διός τ’ ἐκγόνων. θρασύ μοι τόδ’ εἰπεῖν
book 7.1 φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων
book 7.2 οἴκοθεν· ἀλλὰ γὰρ ἀνάπαυ-
book 7.52.1 σις ἐν παντὶ γλυκεῖα ἔργῳ· κόρον δ’ ἔχει
book 7.52.2 καὶ μέλι καὶ τὰ τέρπν’ ἄνθε’ Ἀφ˙ροδίσια.
book 7.52.3 φυᾷ δ’ ἕκαστος διαφέρομεν βιοτὰν λαχόντες
book 7.55.1 ὁ μὲν τά, τὰ δ’ ἄλλοι· τυχεῖν δ’ ἕν’ ἀδύνατον
book 7.55.2 εὐδαιμονίαν ἅπασαν ἀνελόμενον· οὐκ ἔχω
book 7.55.3 εἰπεῖν, τίνι τοῦτο Μοῖρα τέλος ἔμπεδον
book 7.55.4 ὤρεξε. Θεαρίων, τὶν δ’ ἐοικότα καιρὸν ὄλβου
book 7.55.5 δίδωσι, τόλμαν τε καλῶν ἀρομένῳ
book 7.60.1 σύνεσιν οὐκ ἀποβλάπτει φρενῶν.
book 7.60.2 ξεῖνός εἰμι· σ͡κο͡τεινὸν ἀπέχων ψόγον,
book 7.60.3 ὕδατος ὥτε ῥοὰς φίλον ἐς ἄνδρ’ ἄγων
book 7.60.4 κλέος ἐτήτυμον αἰνέσω·
book 7.63 —ποτίφορος δ’ ἀγαθοῖσι μισθὸς οὗτος.
book 7 ἐὼν δ’ ἐγγὺς Ἀχαιὸς οὐ μέμψεταί μ’ ἀνήρ
book 7.65 Ἰονίας ὑπὲρ ἁλὸς οἰ-
book 7.65.1 κέων, καὶ προξενίᾳ πέποιθ’, ἔν τε δαμόταις
book 7.65.2 ὄμματι δέρκομαι λαμπρόν, οὐχ ὑπερβαλών,
book 7.65.3 βίαια πάντ’ ἐκ ποδὸς ἐρύσαις· ὁ δὲ λοιπὸς εὔφρων
book 7.65.4 ποτὶ χ˙ρόνος ἕρποι. μαθὼν δέ τις ἀνερεῖ,
book 7.65.5 εἰ πὰρ μέλος ἔρχομαι ψάγιον ὄαρον ἐννέπων.
book 7.70.1 Εὐξένιδα πάτραθε Σώγενες, ἀπομνύω
book 7.70.2 μὴ τέρμα προβαὶς ἄκονθ’ ὥτε χαλκοπάραον ὄρσαι
book 7.70.3 θοὰν γλῶσσαν, ὃς ἐξέπεμψεν παλαισμάτων
book 7.70.4 αὐχένα καὶ σθένος ἀδίαν-
book 7.73.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τον, αἴθωνι πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν.

book 7.73.2 εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρχεται.

book 7.75.1 ἔα με· νικῶντί γε χάριν, εἴ τι πέραν ἀερθείς

book 7.75.2 ἀνέκ᾽ραγον, οὐ τραχύς εἰμι καταθέμεν.

book 7.75.3 εἴρειν στεφάνους ἐλαφ᾽ρόν, ἀναβάλεο· Μοῖσά τοι

book 7.1 κολλᾷ χρῦσὸν ἔν τε λευκὸν ἐλέφανθ’ ἁμᾶ

book 7.2 καὶ λείριον ἄνθεμον ποντίας ὑφελοῖς’ ἐέρσας.

book 7.80.1 Διὸς δὲ μεμναμένος ἀμφὶ Νεμέᾳ

book 7.80.2 πολύφατον θρόον ὕμνων δόνει

book 7.80.3 ἡσυχᾶ. βασιλῆα δὲ θεῶν πρέπει

book 7.80.4 δάπεδον ἂν τόδε γαρυέμεν ἡμέρᾳ

book 7.80.5 ͵—ὀπί· λέγοντι γὰρ Αἰακόν νιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι,

book 7.85.1 ἐμᾶ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ,

book 7.85.2 Ἡράκλεες, σέο δὲ προπρᾶον’

book 7.86.1 ἔμ 〈μ〉 εν ξεῖνον ἀδελφεόν τ’. εἰ δὲ γεύεται

book 7.86.2 ἀνδρὸς ἀνήρ τι, φαῖμέν κε γείτον’ ἔμμεναι

book 7.86.3 νόῳ φιλήσαντ’ ἀτενέϊ γείτονι χάρμα πάντων

book 7.86.4 ἐπάξιον· εἰ δ’ αὐτὸ καὶ θεὸς ἀνέχοι, —

book 7.90.1 ἐν τίν κ’ ἐθέλοι, Γίγαντας ὃς ἐδάμασας, εὐτυχῶς

book 7.90.2 ναίειν πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων

book 7.90.3 θυμὸν προγόνων ἐϋκτήμονα ζαθέαν ἄγυιαν.

book 7.90.4 ἐπεὶ τετ᾽ρᾰόροισιν ὥθ’ ἁρμάτων ζυγοῖς

book 7.90.5 ἐν τεμένεσσι δόμον ἔχει τεοῖς, ἀμφοτέρας ἰὼν χειρός. ὦ μάκαρ,

book 7.95.1 τὶν δ’ ἐπέοικεν Ἥρας πόσιν τε πειθέμεν

book 7.95.2 κόραν τε γλαυκώπιδα· δύνασαι δὲ βροτοῖσιν ἀλκάν

book 7.95.3 ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν.

book 7.95.4 εἰ γὰρ σύ ἱν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις

book 7.95.5 ἥβᾳ λιπαρῷ τε γήραϊ διαπ᾽λέκοις

book 7.1 εὐδαίμον’ ἐόντα, παίδων δὲ παῖδες ἔχοιεν αἰεί

book 7.2 γέρας τό περ νῦν καὶ ἄρειον ὄπιθεν.

book 7.3 τὸ δ’ ἐμὸν οὔ ποτε φάσει κέαρ

book 7.4 ἀτ᾽ρόποισι Νεοπτόλεμον ἑλκύσαι

book 7.5 ἔπεσι· ταὐτὰ δὲ τρὶς τετράκι τ’ ἀμπολεῖν

book 7.105 ἀπορία τελέθει, τέκνοι-

book 7.105 σιν ἅτε μαψυλάκας ‘Διὸς Κόρινθοσ‘.

book 8 .

book 8.1.1 ἀμβροσιᾶν φιλοτάτων,

book 8.1.2 ἅ τε παρθενηΐοις παίδων τ’ ἐφίζοισα γ᾽λεφάροις,

book 8.1.3

τὸν μὲν ἡμέροις ἀνάγκας χερσὶ βαστά-
book 8.3.1 ζεις, ἕτερον δ’ ἑτέραις.
book 8.3.2 ἀγαπατὰ δὲ καιροῦ μὴ πλαναθέντα πρὸς ἔργον ἕκαστον
book 8.5.1 τῶν ἀρειόνων ἐρώτων ἐπικˈρατεῖν δύνασθαι.
book 8.5.2 οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον
book 8.6.1 ποιμένες ἀμφεπόλησαν
book 8.6.2 Κυπˈρίας δώρων· ἔβλαστεν δ’ υἱὸς Οἰνώνας βασιλεύς
book 8.6.3 χειρὶ καὶ βουλαῖς ἄριστος. πολλά νιν πολ-
book 8.8.1 λοὶ λιτάνευον ἰδεῖν·
book 8.8.2 ἀβοατὶ γὰρ ἡρώων ἄωτοι περιναιεταόντων
book 8.10.1 ἤθελον κείνου γε πείθεσθ’ ἀναξίαις ἑκόντες,
book 8.10.2 οἵ τε κˈρανααῖς ἐν Ἀθάναισιν ἅρμοζον στρατόν,
book 8.10.3 οἵ τ’ ἀνὰ Σπάρταν Πελοπηϊάδαι.
book 8.10.4 ἱκέτας Αἰακοῦ
book 8.13 σεμνῶν γονάτων πόλιός θ’ ὑπὲρ φίλας
book 8 ἀστῶν θ’ ὑπὲρ τῶνδ’ ἅπτομαι φέρων
book 8.15.1 Λυδίαν μίτˈραν καναχηδὰ πεποικιλμέναν,
book 8.15.2 Δείνιος δισσῶν σταδίων
book 8.16.1 καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα.
book 8.16.2 σὺν θεῷ γάρ τοι φυτευθεὶς
book 8.17 ⸏ὄλβος ἀνθρώποισι παρμονώτερος·
book 8 ὅσπερ καὶ Κινύραν ἔβˈρισε πλούτῳ
book 8.18.1 ποντίᾳ ἔν ποτε Κύπˈρῳ.
book 8.18.2 ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πˈρίν τι φάμεν.
book 8.20 πολλὰ γὰρ πολλᾷ λέλεκται, νεαρὰ δ’ ἐξευ-
book 8.20.1 ρόντα δόμεν βασάνῳ
book 8.20.2 ἐς ἔλεγχον, ἅπας κίνδυνος· ὄψον δὲ λόγοι φθονεροῖσιν,
book 8.20.3 ἅπτεται δ’ ἐσλῶν ἀεί, χειρόνεσσι δ’ οὐκ ἐρίζει.
book 8.20.4 κεῖνος καὶ Τελαμῶνος δάψεν υἱόν,
book 8.23.1 φασγάνῳ ἀμφικυλίσαις.
book 8.23.2 ἦ τιν’ ἄγˈλωσσον μέν, ἦτορ δ’ ἄλκιμον, λάθα κατέχει
book 8.25 ἐν λυγρῷ νείκει· μέγιστον δ’ αἰόλῳ ψεύ-
book 8.25.1 δει γέρας ἀντέταται.
book 8.25.2 κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ Δαναοὶ θεράπευσαν·
book 8.25.3 χρυσέων δ’ Αἴας στερηθεὶς ὅπλων φόνῳ πάλαισεν.
book 8.25.4 ἦ μὰν ἀνόμοιά γε δᾳοισιν ἐν θερμῷ χροΐ
book 8.25.5 ἕλκεα ῥῆξαν πελεμιζόμενοι
book 8.30 ὑπ’ ἀλεξιμβρότῳ
book 8.30.1

λόγχᾳ, τὰ μὲν ἀμφ’ Ἀχιλεῖ νεοκτόνῳ,
book 8.30.2 ἄλλων τε μόχθων ἐν πολυφθόροις.
book 8.30.3 ἁμέραις. ἐχθρὰ δ’ ἄρα πάρφασις ἦν καὶ πάλαι,
book 8.30.4 αἱμύλων μύθων ὁμόφοι-
book 8.33.1 τος, δολοφˈραδής, κακοποιὸν ὄνειδος·
book 8.33.2 ἃ τὸ μὲν λαμπρὸν βιᾶται,
book 8.34 ⸏—τῶν δ’ ἀφάντων κῦδος ἀντείνει σαθρόν.
book 8.35 εἴη μή ποτέ μοι τοιοῦτον ἦθος,
book 8.35.1 Ζεῦ πάτερ, ἀλλὰ κελεύθοις
book 8.35.2 ἁπˈλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς παισὶ κλέος
book 8.35.3 μὴ τὸ δύσφαμον προσάψω. χρυσὸν εὔχον-
book 8.37.1 ται, πεδίον δ’ ἕτεροι
book 8.37.2 ἀπέραντον, ἐγὼ δ’ ἀστοῖς ἁδὼν καὶ χθονὶ γυῖα καλύψαι,
book 8.37.3 αἰνέων αἰνητά, μομφὰν δ’ ἐπισπείρων ἀλιτˈροῖς.
book 8.40 ἀΐσσει δ’ ἀρετά, χλωραῖς ἐέρσαις
book 8.40.1 ὡς ὅτε δένδρεον 〈––〉,
book 8.40.2 〈ἐν〉 σοφοῖς ἀνδρῶν ἀερθεῖσ’ ἐν δικαίοις τε πˈρὸς ὑγρόν
book 8.40.3 αἰθέρα. χˈρεῖαι δὲ παντοῖαι φίλων ἀν-
book 8.42.1 δρῶν· τὰ μὲν ἀμφὶ πόνοις
book 8.42.2 ὑπερώτατα, μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι θέσθαι
book 8.42.3 πιστόν. ὦ Μέγα, τὸ δ’ αὖτις τεὰν ψυχὰν κομίξαι
book 8.45.1 οὔ μοι δυνατόν· κενεᾶν δ’ ἐλπίδων χαῦνον τέλος·
book 8.45.2 σεῦ δὲ πάτˈρᾳ Χαριάδαις τ’ ἐλαφρόν
book 8.45.3 ὑπερεῖσαι λίθον
book 8.47.1 Μοισαῖον ἕκατι ποδῶν εὐωνύμων
book 8.47.2 δὶς δὴ δυοῖν. χαίρω δὲ πρόσφορον
book 8.47.3 ἐν μὲν ἔργῳ κόμπον ἱείς, ἐπαοιδαῖς δ’ ἀνήρ
book 8 νώδυνον καί τις κάματον
book 8.1 θῆκεν· ἦν γε μὰν ἐπικώμιος ὕμνος
book 8.2 δὴ πάλαι καὶ πρὶν γενέσθαι
book 8.51 τὰν Ἀδράστου τάν τε Καδˈμείων ἔριν.
book 9 .
book 9.2.1 ξείνων νενίκανται θύραι,
book 9.2.2 ὄλβιον ἐς Χρομίου
book 9.3.1 δῶμ’. ἀλλ’ ἐπέων γλυκὺν ὕμνον πράσσετε.
book 9.3.2 τὸ κˈρατήσιππον γὰρ ἐς ἅρμ’ ἀναβαίνων
book 9.4 ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει
book 9.5 Πυθῶνος αἰπεινᾶς ὁμοκˈλάροις ἐπόπταις.
book 9.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλόν
book 9.2 μὴ χαμαὶ σιγᾷ καλύψαι· θεσπεσία δ’ ἐπέων
book 9.7.1 καύχας ἀοιδὰ πρόσφορος.
book 9.7.2 ἀλλ’ ἀνὰ μὲν βρομίαν
book 9.8.1 φόρμιγγ’, ἀνὰ δ’ αὐλὸν ἐπ’ αὐτὰν ὄρσομεν
book 9.8.2 ἱππίων ἀέθλων κορυφάν, ἅ τε Φοίβῳ
book 9.9 θῆκεν Ἄδραστος ἐπ’ Ἀσωποῦ ῥεέθˈροις· ὧν ἐγώ
book 9.10 μνασθεὶς ἐπασκήσω κλυταῖς ἥρωα τιμαῖς.
book 9.1 ὃς τότε μὲν βασιλεύων κεῖθι νέαισί θ’ ἑορταῖς
book 9.2 ἰσχύος τ’ ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γˈλαφυροῖς
book 9.12.1 ἄμφαινε κυδαίνων πόλιν.
book 9.12.2 φεῦγε γὰρ Ἀμφιαρῆ
book 9.13.1 ποτε θˈρασυμήδεα καὶ δεινὰν στάσιν
book 9.13.2 πατˈρίων οἴκων ἀπό τ’ Ἄργεος· ἀρχοὶ
book 9.14 δ’ οὐκ ἔτ’ ἔσαν Ταλαοῦ παῖδες, βιασθέντες λύᾳ.
book 9.15 κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ.
book 9.1 ἀνδροδάμαντ’ Ἐριφύλαν, ὅρκιον ὡς ὅτε πιστόν,
book 9.2 δόντες Οἰκλείδᾳ γυναῖκα, ξανθοκομᾶν Δαναῶν
book 9.17.1 ἦσαν μέγιστοι 〈––〉
book 9.17.2 καί ποτ’ ἐς ἑπταπύλους
book 9.18.1 Θήβας ἄγαγον στρατὸν ἀνδρῶν αἰσιᾶν
book 9.18.2 οὐ κατ’ ὀρνίχων ὁδόν· οὐδὲ Κρονίων
book 9.19 ἀστεροπὰν ἐλελίξαις οἴκοθεν μαργουμένους
book 9.20 στείχειν ἐπώτρυν’, ἀλλὰ φείσασθαι κελεύθου.
book 9.1 φαινομέναν δ’ ἄρ’ ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέσθαι
book 9.2 χαλκέοις ὅπλοισιν ἱππείοις τε σὺν ἔντεσιν· Ἰσ-
book 9.22.1 μηνοῦ δ’ ἐπ’ ὄχθαισι γˈλυκύν
book 9.22.2 νόστον ἐρεισάμενοι
book 9.23.1 λευκανθέα σώμασι πίαναν καπνόν·
book 9.23.2 ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους
book 9.24 φῶτας· ὁ δ’ Ἀμφιαρεῖ σχίσσεν κεραυνῷ παμβίᾳ
book 9.25 Ζεὺς τὰν βαθύστερνον χθόνα, κˈρύψεν δ’ ἅμ’ ἵπποις,
book 9.1 δουρὶ Περικˈλυμένου πρὶν νῶτα τυπέντα μαχατάν
book 9.2 θυμὸν αἰσχυνθῆμεν. ἐν γὰρ δαιμονίοισι φόβοις
book 9.27.1 φεύγοντι καὶ παῖδες θεῶν.
book 9.27.2 εἰ δυνατόν, Κρονίων,
book 9.28.1 πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων
book 9.28.2 ἐγχέων ταύταν θανάτου πέρι καὶ ζω-
book 9.29

ἇς ἀναβάλλομαι ὡς πόρσιστα, μοῖραν δ’ εὔνομον
αἰτέω͜σε παισὶν δαρὸν Αἰτναίων ὀπάζειν,
Ζεῦ πάτερ, ἀγˈλαΐαισιν δ’ ἀστυνόμοις ἐπιμεῖξαι
λαόν. ἐντί τοι φίλιπποί τ’ αὐτόθι καὶ κτεάνων
ψυχὰς ἔχοντες κρέσσονας
ἄνδρες. ἄπιστον ἔειπ’·
αἰδὼς γὰρ ὑπὸ κˈρύφα κέρδει κλέπτεται,
ἃ φέρει δόξαν. Χρομίῳ κεν ὑπασπί-
ζων παρὰ πεζοβόαις ἵπποις τε ναῶν τ’ ἐν μάχαις
ἔκˈρινας, ἂν κίνδυνον ὀξείας ἀυτᾶς,
οὕνεκεν ἐν πολέμῳ κείνα θεὸς ἔντυεν αὐτοῦ
θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου.
παῦροι δὲ βουλεῦσαι φόνου
παρποδίου νεφέλαν
τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας
χερσὶ καὶ ψυχᾷ δυνατοί· λέγεται μὰν
Ἕκτορι μὲν κλέος ἀνθῆσαι Σκαμάνδρου χεύμασιν
ἀγχοῦ, βαθυκˈρήμνοισι δ’ ἀμφ’ ἀκταῖς Ἑλώρου,
ἔνθ’ Ἀρείας πόρον ἄνθρωποι καλέοισι, δέδορκεν
παιδὶ τοῦθ’ Ἁγησιδάμου φέγγος ἐν ἁλικίᾳ
πρώτᾳ· τὰ δ’ ἄλλαις ἁμέραις
πολλὰ μὲν ἐν κονίᾳ
χέρσῳ, τὰ δὲ γείτονι πόντῳ φάσομαι.
ἐκ πόνων δ’, οἳ σὺν νεότατι γένωνται
σύν τε δίκᾳ, τελέθει πρὸς γῆρας αἰὼν ἡμέρα.
ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον.
εἰ γὰρ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται
κῦδος, οὐκ ἔστι πˈρόσωθεν θνατὸν ἔτι σκοπιᾶς
ἄλλας ἐφάψασθαι ποδοῖν.
ἡσυχία δὲ φιλεῖ
μὲν συμπόσιον· νεοθαλὴς δ’ αὔξεται
μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ·
θαρσαλέα δὲ παρὰ κˈρατῆρα φωνὰ γίνεται.
ἐγκιρνάτω τίς νιν, γλυκὺν κώμου προφάταν,
ἀργυρέαισι δὲ νωμάτω φιάλαισι βιατάν
ἀμπέλου παῖδ’, ἅς ποθ’ ἵπποι κτησάμεναι Χρομίῳ
πέμψαν θεμιπˈλέκτοις ἁμᾶ
Λατοΐδα στεφάνοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκ τᾶς ἱερᾶς Σικυῶνος. Ζεῦ πάτερ,
book 9.53.2 εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι
book 9.54 σὺν Χαρίτεσσιν, ὑπὲρ πολλῶν τε τιμαλφεῖν λόγοις
book 9.55 νίκαν, ἀκοντίζων σκοποῖ’ ἄγχιστα Μοισᾶν.
book 10 Δαναοῦ πόλιν ἀγˈλαοθˈρό-
book 10.1.1 νων τε πεντήκοντα κορᾶν, Χάριτες,
book 10.1.2 Ἄργος Ἥρας δῶμα θεοπˈρεπὲς ὑμνεῖ-
book 10.2.1 τε· φˈλέγεται δ’ ἀρεταῖς
book 10.2.2 μυρίαις ἔργων θρασέων ἕνεκεν.
book 10.2.3 μακˈρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος,
book 10.5 πολλὰ δ’ Αἰγύπτῳ καταοίκισεν ἄστη
book 10.5.1 ταῖς Ἐπάφου παλάμαις·
book 10.5.2 οὐδ’ Ὑπερμήστρα παρεπˈλάγχθη, μονό-
book 10.6.1 ψαφον ἐν κολεῷ κατασχοῖσα ξίφος.
book 10.6.2 Διομήδεα δ’ ἄμβροτον ξαν-
book 10.7.1 θά ποτε Γˈλαυκῶπις ἔθηκε θεόν·
book 10.7.2 γαῖα δ’ ἐν Θήβαις ὑπέδεκτο κεραυνω-
book 10.8.1 θεῖσα Διὸς βέλεσιν
book 10.8.2 μάντιν Οἰκλείδαν, πολέμοιο νέφος·
book 10.10.1 καὶ γυναιξὶν καλλικόμοισιν ἀριστεύει πάλαι·
book 10.10.2 Ζεὺς ἐπ’ Ἀλκμήναν Δανάαν τε μολὼν τοῦ-
book 10.11.1 τον κατέφανε λόγον·
book 10.11.2 πατˈρὶ δ’ Ἀδˈράστοιο Λυγκεῖ τε φˈρενῶν
book 10.12.1 καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ·
book 10.12.2 θρέψε δ’ αἰχμὰν Ἀμφιτρύωνος. ὁ δ’ ὄλβῳ φέρτατος
book 10.12.3 ἵκετ’ ἐς κείνου γενεάν, ἐπεὶ ἐν χαλκέοις ὅπλοις
book 10.15.1 Τηλεβόας ἔναρεν· τῷ ὄψιν ἐειδόμενος
book 10.15.2 ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν,
book 10.15.3 σπέρμ’ ἀδείμαντον φέρων Ἡρακˈλέος· οὗ κατ’ Ὄλυμπον
book 10.15.4 ἄλοχος Ἥβα τελείᾳ παρὰ ματέρι βαίνοις’
book 10.18 ἔστι, καλλίστα θεῶν.
book 10 βραχύ μοι στόμα πάντ’ ἀναγή-
book 10.19 σασθ’, ὅσων Ἀργεῖον ἔχει τέμενος
book 10.20 μοῖραν ἐσλῶν· ἔστι δὲ καὶ κόρος ἀνθρώ-
book 10.20.1 πων βαρὺς ἀντιάσαι·
book 10.20.2 ἀλλ’ ὅμως εὔχορδον ἔγειρε λύραν,
book 10.20.3 καὶ παλαισμάτων λάβε φροντίδ’· ἀγών τοι χάλκεος
book 10.20.4 δᾶμον ὀτˈρύνει ποτὶ βουθυσίαν Ἥ-
book 10.23.1

ρας ἀέθλων τε κρίσιν·
book 10.23.2 Οὐλία παῖς ἔνθα νικάσαις δὶς ἔ-
book 10.24 σχεν Θεαῖος εὐφόρων λάθαν πόνων.
book 10.25 ἐκράτησε δὲ καί ποθ’ Ἕλλα-
book 10.25.1 να στρατὸν Πυθῶνι, τύχᾳ τε μολών
book 10.25.2 καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον, Μοί-
book 10.26.1 σαισί τ’ ἔδωκ’ ἀρόσαι,
book 10.26.2 τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχών,
book 10.26.3 τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις ἐν Ἀδραστείῳ νόμῳ.
book 10.26.4 Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενί, σιγᾷ
book 10.29 οἱ στόμα· πὰν δὲ τέλος
book 10.30 ἐν τὶν ἔργων· οὐδ’ ἀμόχθῳ καρδίᾳ
book 10.30.1 προσφέρων τόλμαν παραιτεῖται χάριν.
book 10.30.2 γνώτ’ ἀείδω θεῷ τε καὶ ὅστις ἁμιλλᾶται πέρι
book 10.1 ἐσχάτων ἀέθλων κορυφαῖς. ὕπατον δ’ ἔσχεν Πίσα
book 10.2 Ἡρακλέος τεθμόν. ἁδεῖαί γε μὲν ἀμβολάδαν
book 10.3 ἐν τελεταῖς δὶς Ἀθαναίων νιν ὀμφαί
book 10.35.1 κώμασαν· γαίᾳ δὲ καυθείσᾳ πυρὶ καρπὸς ἐλαίας
book 10.35.2 ἔμολεν Ἥρας τὸν εὐάνορα λαὸν ἐν ἀγγέων
book 10.36 ἕρκεσιν παμποικίλοις.
book 10 ἐπέβα δέ, Θεαῖε, ματρώ-
book 10.37.1 ων πολύγˈνωτον γένος ὑμετέρων
book 10.37.2 εὐάγων τιμὰ Χαρίτεσσί τε καὶ σὺν
book 10.38.1 Τυνδαρίδαις θαμάκις.
book 10.38.2 ἀξιωθείην κεν, ἐὼν Θρασύκλου
book 10.40.1 Ἀντία τε σύγγονος, Ἄργεϊ μὴ κρύπτειν φάος
book 10.40.2 ὀμμάτων. νικαφορίαις γὰρ ὅσαις ἱπ-
book 10.41.1 ποτˈρόφον ἄστυ τὸ Προί-
book 10.41.2 τοιο θάλησεν Κορίνθου τ’ ἐν μυχοῖς·
book 10.42.1 καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετˈράκις,
book 10.42.2 Σικυωνόθε δ’ ἀργυρωθέν-
book 10.43.1 τες σὺν οἰνηραῖς φιάλαις ἀπέβαν,
book 10.43.2 ἐκ δὲ Πελλάνας ἐπιεσσάμενοι νῶ-
book 10.44 τον μαλακαῖσι κρόκαις·
book 10.45.1 ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατόν
book 10.45.2 ἐξελέγχειν—μακˈροτέρας γὰρ ἀριθˈμῆσαι σχολᾶς—
book 10.45.3 ὅν τε Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν
book 10.47.1 ὑψίβατοι πόλιες
book 10.47.2

καὶ Λύκαιον πὰρ Διὸς θῆκε δˈρόμῳ,
book 10.48.1 σὺν ποδῶν χειρῶν τε νικῶντι σθένει.
book 10.48.2 Κάστορος δ’ ἐλθόντος ἐπὶ ξενίαν πὰρ Παμφάη
book 10.1 καὶ κασιγˈνήτου Πολυδεύκεος, οὐ θαῦμα σφίσιν
book 10.2 ἐγγενὲς ἔμμεν ἀεθˈληταῖς ἀγαθοῖσιν· ἐπεί
book 10.1 εὐρυχόρου ταμίαι Σπάρτας ἀγώνων
book 10.2 μοῖραν Ἑρμᾷ καὶ σὺν Ἡρακˈλεῖ διέποντι θάλειαν,
book 10.3 μάλα μὲν ἀνδρῶν δικαίων περικαδόμενοι. καὶ
book 10.54 —μὰν θεῶν πιστὸν γένος.
book 10.55 μεταμειβόμενοι δ’ ἐναλλὰξ
book 10.55.1 ἁμέραν τὰν μὲν παρὰ πατˈρὶ φίλῳ
book 10.55.2 Δὶ νέμονται, τὰν δ’ ὑπὸ κεύθεσι γαίας
book 10.56.1 ἐν γυάλοις Θεράπνας,
book 10.56.2 πότˈμον ἀμπιπˈλάντες ὁμοῖον· ἐπεί
book 10.56.3 τοῦτον, ἢ πάμπαν θεὸς ἔμμεναι οἰκεῖν τ’ οὐρανῷ,
book 10.56.4 εἵλετ’ αἰῶνα φθιμένου Πολυδεύκης
book 10.59 Κάστορος ἐν πολέμῳ.
book 10.60 τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως χολω-
book 10.60.1 θεὶς ἔτρωσεν χαλκέας λόγχας ἀκμᾷ.
book 10.60.2 ἀπὸ Ταϋγέτου πεδαυγά-
book 10.61.1 ζων ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει
book 10.61.2 ἡμένους. κείνου γὰρ ἐπιχθονίων πάν-
book 10.62.1 των γένετ’ ὀξύτατον
book 10.62.2 ὄμμα. λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ
book 10.62.3 ἐξικέσθαν, καὶ μέγα ἔργον ἐμήσαντ’ ὠκέως
book 10.65 καὶ πάθον δεινὸν παλάμαις Ἀφαρητί-
book 10.65.1 δαι Διός· αὐτίκα γάρ
book 10.65.2 ἦλθε Λήδας παῖς διώκων· τοὶ δ’ ἔναν-
book 10.66.1 τα στάθεν τύμβῳ σχεδὸν πατˈρωΐῳ·
book 10.66.2 ἔνθεν ἁρπάξαντες ἄγαλμ’ Ἀΐδα, ξεστὸν πέτρον,
book 10.66.3 ἔμβαλον στέρνῳ Πολυδεύκεος· ἀλλ’ οὔ νιν φλάσαν
book 10.66.4 οὐδ’ ἀνέχασσαν· ἐφορμαθεὶς δ’ ἄρ’ ἄκοντι θοῷ,
book 10.70 ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν.
book 10.1 Ζεὺς δ’ ἐπ’ Ἴδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν·
book 10.2 ἅμα δ’ ἐκαίοντ’ ἐρῆμοι. χαλεπὰ δ’ ἔρις ἀνθρώ-
book 10.72 —ποις ὁμιλεῖν κρεσσόνων.
book 10 ταχέως δ’ ἐπ’ ἀδελφεοῦ βί-
book 10.73.1 αν πάλιν χώρησεν ὁ Τυνδαρίδας,
book 10.73.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καί νιν οὔπω τεθˈναότ’, ἄσθματι δὲ φˈρίσ-
book 10.74 σοντα πνοὰς ἔκιχεν.
book 10.75.1 θερμὰ δὴ τέγγων δάκρυα στοναχαῖς
book 10.75.2 ὄρθιον φώνασε· ‘Πάτερ Κρονίων, τίς δὴ λύσις
book 10.75.3 ἔσσεται πενθέ͜ων; καὶ ἐμοὶ θάνατον σὺν
book 10.77.1 τῷδ’ ἐπίτειλον, ἄναξ.
book 10.77.2 οἴχεται τιμὰ φίλων τατωμένῳ
book 10.78.1 φωτί· παῦροι δ’ ἐν πόνῳ πιστοὶ βροτῶν
book 10.78.2 καμάτου μεταλαμβάνειν.‘ ὣς
book 10.79 ἤνεπε· Ζεὺς δ’ ἀντίος ἤλυθέ οἱ,
book 10.80 καὶ τόδ’ ἐξαύδασ’ ἔπος· ‘Ἐσσί μοι υἱός·
book 10.80.1 τόνδε δ’ ἔπειτα πόσις
book 10.80.2 σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις
book 10.80.3 στάξεν ἥρως, ἀλλ’ ἄγε τῶνδέ τοι ἔμπαν αἵρεσιν
book 10.80.4 παρδίδωμ’· εἰ μὲν θάνατόν τε φυγὼν καὶ
book 10.83.1 γῆρας ἀπεχθόμενον
book 10.83.2 αὐτὸς Οὔλυμπον θέλεις 〈ναίειν ἐμοὶ〉
book 10.84 σύν τ’ Ἀθαναίᾳ κελαινεγχεῖ τ’ Ἄρει,
book 10.85.1 ἔστι σοι τούτων λάχος· εἰ δὲ κασιγˈνήτου πέρι
book 10.85.2 μάρνασαι, πάντων δὲ νοεῖς ἀποδάσσασθαι ἴσον,
book 10.85.3 ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών,
book 10.85.4 ἥμισυ δ’ οὐρανοῦ ἐν χρυσέ͜οις δόμοισιν.‘
book 10.85.5 ὣς ἄρ’ αὐδάσαντος οὐ γνώμᾳ διπλόαν θέτο βουλάν,
book 10.90 ἀνὰ δ’ ἔλυσεν μὲν ὀφθαλμόν, ἔπειτα δὲ φωνὰν
book 10.90 χαλκομίτˈρα Κάστορος.
book 11.1 Παῖ Ῥέας, ἅ τε πˈρυτανεῖα λέλογχας, Ἑστία,
book 11.2 Ζηνὸς ὑψίστου κασιγˈνήτα καὶ ὁμοθˈρόνου Ἥρας,
book 11.3 εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον,
book 11.4 εὖ δ’ ἑταίρους ἀγˈλαῷ σκάπτῳ πέλας
book 11.5.1 οἵ σε γεραίροντες ὀρθὰν φυλάσσοισιν Τένεδον,
book 11.5.2 πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν,
book 11.5.3 πολλὰ δὲ κˈνίσᾳ· λύρα δέ σφι βˈρέμεται καὶ ἀοιδά·
book 11.5.4 καὶ ξενίου Διὸς ἀσκεῖται θέμις αἰενάοις
book 11.5.5 ἐν τραπέζαις· ἀλλὰ σὺν δόξᾳ τέλος
book 11.10.1 δωδεκάμηνον περᾶσαί νιν ἀτˈρώτῳ κραδίᾳ.
book 11.10.2 ἄνδρα δ’ ἐγὼ μακαρίζω μὲν πατέρ’ Ἀρκεσίλαν,
book 11.10.3 καὶ τὸ θαητὸν δέμας ἀτˈρεμίαν τε σύγγονον·
book 11.10.4 εἰ δέ τις ὄλβον ἔχων μορφᾷ παραμεύσεται ἄλλους,
book 11.10.5

ἔν τ’ ἀέθλοισιν ἀριστεύων ἐπέδειξεν βίαν,
θνατὰ μεμνάσθω περιστέλλων μέλη,
καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος.
ἐν λόγοις δ’ ἀστῶν ἀγαθοῖσιν ἐπαινεῖσθαι χρεών,
καὶ μελιγδούποισι δαιδαλθέντα μελίζεν ἀοιδαῖς.
ἐκ δὲ περικτιόνων ἑκκαίδεκ’ Ἀρισταγόραν
ἀγˈλααὶ νῖκαι πάτραν τ’ εὐώνυμον
ἐστεφάνωσαν πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ.
ἐλπίδες δ’ ὀκˈνηρότεραι γονέων παιδὸς βίαν
ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων.
ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν παρὰ Κασταλίᾳ
καὶ παρ’ εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου
κάλλιον ἂν δηρῐώντων ἐνόστης’ ἀντιπάλων,
πενταετηρίδ’ ἑορτὰν Ἡρακλέος τέθμιον
κωμάσαις ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις
ἔρνεσιν. ἀλλὰ βροτῶν τὸν μὲν κενεόφˈρονες αὖχαι
ἐξ ἀγαθῶν ἔβαλον· τὸν δ’ αὖ καταμεμφθέντ’ ἄγαν
ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν
χειρὸς ἕλκων ὀπίσσω θυμὸς ἄτολμος ἐών.
συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι
αἷμ’ ἀπὸ Σπάρτας, —Ἀμύκˈλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ,
Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ’ ἀνάγων, —
καὶ παρ’ Ἰσμηνοῦ ῥοᾶν κεκραμένον
ἐκ Μελανίπποιο μάτρωος· ἀρχαῖαι δ’ ἀρεταί
ἀμφέροντ’ ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος·
ἐν σχερῷ δ’ οὔτ’ ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι,
δένδρεά τ’ οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις
ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον,
ἀλλ’ ἐναμείβοντι. καὶ θνατὸν οὕτως ἔθˈνος ἄγει
μοῖρα. τὸ δ’ ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται
τέκˈμαρ· ἀλλ’ ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν,
ἔργα τε πολλὰ μενοινῶντες· δέδεται γὰρ ἀναιδεῖ
ἐλπίδι γυῖα, προμαθείας δ’ ἀπόκεινται ῥοαί.
κερδέων δὲ χˈρὴ μέτρον θηρευέμεν·
ἀπˈροσίκτων δ’ ἐρώτων ὀξύτεραι μανίαι.